Wiegand, Theodor: Siebenter vorläufiger Bericht über die von den Königlichen Museen in Milet und Didyma unternommenen Ausgrabungen

Berlin, 1911 Seite 56



IIIa. Gefunden im Schutt des Mittelsaales (sog. χρησμογραφεῖον). Bläulicher Marmor, gestreift. Höhe 63 cm, Breite oben 71,5 unten 72 cm. Durchmesser 21 cm, Buchstabenhöhe 12 mm. Oben Bruch. Rechts und links antike Seitenfläche. Unten beendet, Rest eines abgebrochenen Zapfens. Die letzten 10 cm der Oberfläche sind roh abgearbeitet in einer Tiefe von 10 cm. Buchstabenformen: Α Ν Π Σ Ο. Auf beiden Seiten beschrieben (s. IIIb) Inv. Nr. 291.

ΑΠΟ
_Ι.......Σ ὀκτὼ ΠΑ
τοίχου παρα[θ]ύρ̣ο̣υ̣ Κτήσωνος κα̣[ὶ . . . . . . . . . . .
- καὶ ἐκ μὲν τῆς ἐκτ]ό̣ς̣, τ̣ῶ̣ν τὸ πάχος πενθημιποδίων πέντε, ὧν τὸμ πρῶ̣[τον ἐπὶ
τῶ]ι παραθύρωι καὶ τὸν ἐχόμενον ἱερούς, τρίτον Μοιρέ̣ου, τέταρτον ἱερόν, π̣[έμπτον
Μ]ολπαγόρου· ἐγ δὲ τῆς ἐντός, τῶν τὸ πάχος τριημιποδίων δύο, τὸμ πρῶτ[ον
Θεοδότου, τὸν δὲ Μολπαγόρου· ἀντέθη̣κ̣α̣ν̣ δ̣ὲ̣ τ̣ο̣ύ̣τοις πετρίνους πέντε, ὧ̣[ν
τὸν ἀπὸ τοῦ παραθύρου ἱερόν, δεύτερον Στράτωνος, τρίτον καὶ τέταρτον ἱερό[ν,
πέμπτον Στράτωνος· καὶ ἐπὶ τοῦ θυραίου τοῦ λαβυρίνθου ἐκ τῆς ἐκτός, τῶν
τὸ πάχος πενθημιποδίων τέσσαρας, τὸμ πρῶτον ἀπὸ τοῦ θυραίου τοίχο[υ
Μολπαγόρου, δεύτερον Καλλικράτου, τρίτομ Μεγακλέους, τέταρτον
Μολπαγόρου· ἀντέθηκαν δὲ τούτοις πετρίνους ἕξ, ὧν τοὺς πρώτους δύο
ἱερούς, τοὺς δὲ λοιποὺς Στράτωνος· ἔθηκαν δὲ καὶ ἐπὶ τοῦ μεσοτοίχου τοῦ
λαβυρίνθου πενθημιποδίους πέντε, ὧν τὸμ πρῶτον ἀπὸ τοῦ θυραίου
Καλλικράτου, δεύτερομ Πρώτου, τρίτον ἱερόν, τέταρτον Εὐτύχου,
πέμπτον ἱερόν· καὶ τὸν διαφράσσοντα τὴν ἀνάβασιν τριημιπόδιον Νέωνος.
ἀντέθηκαν δὲ τούτοις πετρίνους τέσσαρας, τὸμ πρῶτον Στράτωνος,
τοὺς δὲ λοιποὺς ἱερούς, καὶ τὸν διαφράσσοντα Στράτωνος· ἔθηκαν δὲ καὶ ἐν τῶι
δωδεκάτωι δόμωι ἀμφισκέπαρνομ παρὰ τὸμ προήνεμον τοῖχον τοῦ βορείου
μέρους, Μολπαγόρου. *leer 2 B.* Οἱ δὲ περὶ Ἀντίπατρον ὄντες δεκατέσσερες ἔθηκαν
ἐν τῶι νοτίωι μέρει τοῦ τρεισκαιδεκάτου δόμου δίατοιχον ἐν τῶι τεττάρτωι
μεταστυλίωι ἀπὸ τοῦ προηνέμου τοίχου, Πρώτου· καὶ ἐκ τῆς ἐντός, τῶν
τὸ πάχος πενθημιποδίων, λίθους δύο, τὸν δὲ πρὸς τῶι διατοιχίωι Ἀσκληπιοδώρου
καὶ τὸν ἐν τῆι ἑξῆς παραστάδι Ἀσκληπιοδώρου· ἀντέθηκαν δὲ τούτοι̣ς λίθο[υς
πετρίνους δύο ἱερούς· ἔθηκαν δὲ καὶ ἐν τῶι [ν]οτίωι μέρει τοῦ τεσσαρεσκαιδεκά[του
δόμου τόν τε γωνιαῖον τὸ[ν κ]ατὰ πρόδομον ἱερὸν καὶ ἐκ τῆς ἐκτός, τῶν
τὸ πάχο]ς π̣ε̣ν̣θ̣η̣μ̣ι̣π̣ο̣[δίων — *21 bis 22 B.* — ]τὸμ πρὸς τῶι
\- - - - - - - - - - - - - - - - - - - - - -

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
http://digi.ub.uni-heidelberg.de/diglit/wiegand1911/0056
© Universitätsbibliothek Heidelberg
gefördert durch die Gesellschaft der Freunde Universität Heidelberg e.V.